ἐσάχρι γυίων, τῶν δὲ βλαυτίων τὸ μέν
ὅμως φυλάσσει θἄτερον δ᾽ ἀπώλεσεν.
μελίσδεται δὲ τὰν χέλυν διακρέκων
ἤτοι Βάθυλλον ἢ καλὸν Μεγιστέα.
φύλασσε, Βάκχε, τὸν γέροντα, μὴ πέσῃ.

## XCI

οὐ μόνον ὑψηλοῖς ἐπὶ δένδρεσιν οἶδα καθίζων
ἀείδειν ζαθερεῖ καύματι θαλπόμενος,
προίκιος ἀνθρώποισι κελευθίτῃσιν ἀοιδός,
θηλείης ἕρσης ἰκμάδα γευόμενος,
ἀλλὰ καὶ εὐπήληκος Ἀθηναίης ἐπὶ δουρί
τὸν τέττιγ᾽ ὄψει μ᾽, ὦνερ, ἐφεζόμενον·
ὅσσον γὰρ Μούσαις ἐστέργμεθα, τόσσον Ἀθήνη
ἐξ ἡμέων· ἡ γὰρ παρθένος αὐλοθετεῖ.

## XCII

οὐκ ἀδικέω τὸν Ἔρωτα· γλυκύς, μαρτύρομαι αὐτήν
Κύπριν· βέβλημαι δ᾽ ἐκ δολίου κέραος
καὶ πᾶς τεφροῦμαι, θερμὸν δ᾽ ἐπὶ θερμῷ ἰάλλει
ἄτρακτον, λωφᾷ δ᾽ οὐδ᾽ ὅσον ἰοβολῶν.
χὠ θνητὸς τὸν ἀλιτρὸν †ἐσώκει θνητὸς ὁ δαίμων
τίσομαι· ἐγκλήμων δ᾽ ἔσσομ᾽ ἀλεξόμενος.